18 ἱερεὺς τὴν θυσίαν αὐτοῦ καὶ τὴν σπονδὴν αὐτοῦ. [18]καὶ ξυρήσεται
ὁ ηὐγμένος παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου τὴν κε-
φαλὴν τῆς εὐχῆς αὐτοῦ καὶ ἐπιθήσει τὰς τρίχας ἐπὶ τὸ πῦρ, ὅ
19 ἐστιν ὑπὸ τὴν θυσίαν τοῦ σωτηρίου. [19]καὶ λήμψεται ὁ ἱερεὺς τὸν
βραχίονα ἑφθὸν ἀπὸ τοῦ κριοῦ καὶ ἄρτον ἕνα ἄζυμον ἀπὸ τοῦ
κανοῦ καὶ λάγανον ἄζυμον ἓν καὶ ἐπιθήσει ἐπὶ τὰς χεῖρας τοῦ
20 ηὐγμένου μετὰ τὸ ξυρήσασθαι αὐτὸν τὴν εὐχὴν αὐτοῦ· [20]καὶ προσ-
οίσει αὐτὰ ὁ ἱερεὺς ἐπίθεμα ἔναντι κυρίου, ἅγιον ἔσται τῷ ἱερεῖ
ἐπὶ τοῦ στηθυνίου τοῦ ἐπιθέματος καὶ ἐπὶ τοῦ βραχίονος τοῦ
21 ἀφαιρέματος· καὶ μετὰ ταῦτα πίεται ὁ ηὐγμένος οἶνον. — [21]οὗτος
ὁ νόμος τοῦ εὐξαμένου, ὃς ἂν εὔξηται κυρίῳ δῶρον αὐτοῦ κυρίῳ
περὶ τῆς εὐχῆς, χωρὶς ὧν ἂν εὕρῃ ἡ χεὶρ αὐτοῦ κατὰ δύναμιν
τῆς εὐχῆς αὐτοῦ, ἣν ἂν εὔξηται κατὰ νόμον ἁγνείας.
22 23 [22]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [23]Λάλησον Ααρων
καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων Οὕτως εὐλογήσετε τοὺς υἱοὺς Ισραηλ
λέγοντες αὐτοῖς (καὶ ἐπιθήσουσιν τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς
Ισραηλ, καὶ ἐγὼ κύριος εὐλογήσω αὐτούς)
24 [24]Εὐλογήσαι σε κύριος καὶ φυλάξαι σε,
25 [25]ἐπιφάναι κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ ἐλεήσαι σε,
26 [26]ἐπάραι κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ δῴη σοι
εἰρήνην.
7 [1]Καὶ ἐγένετο ᾗ ἡμέρᾳ συνετέλεσεν Μωυσῆς ὥστε ἀναστῆσαι
τὴν σκηνὴν καὶ ἔχρισεν αὐτὴν καὶ ἡγίασεν αὐτὴν καὶ πάντα τὰ
σκεύη αὐτῆς καὶ τὸ θυσιαστήριον καὶ πάντα τὰ σκεύη αὐτοῦ καὶ
2 ἔχρισεν αὐτὰ καὶ ἡγίασεν αὐτά, [2]καὶ προσήνεγκαν οἱ ἄρχοντες
Ισραηλ, δώδεκα ἄρχοντες οἴκων πατριῶν αὐτῶν, οὗτοι ἄρχοντες
3 φυλῶν, οὗτοι οἱ παρεστηκότες ἐπὶ τῆς ἐπισκοπῆς, [3]καὶ ἤνεγκαν
τὰ δῶρα αὐτῶν ἔναντι κυρίου ἓξ ἁμάξας λαμπηνικὰς καὶ δώδεκα
βόας, ἅμαξαν παρὰ δύο ἀρχόντων καὶ μόσχον παρὰ ἑκάστου, καὶ
4 προσήγαγον ἐναντίον τῆς σκηνῆς. [4]καὶ εἶπεν κύριος πρὸς Μωυ-
5 σῆν λέγων [5]Λαβὲ παρ᾽ αὐτῶν, καὶ ἔσονται πρὸς τὰ ἔργα τὰ λει-
τουργικὰ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ δώσεις αὐτὰ τοῖς Λευί-
6 ταις, ἑκάστῳ κατὰ τὴν αὐτοῦ λειτουργίαν. [6]καὶ λαβὼν Μωυσῆς
7 τὰς ἁμάξας καὶ τοὺς βόας ἔδωκεν αὐτὰ τοῖς Λευίταις· [7]τὰς δύο
ἁμάξας καὶ τοὺς τέσσαρας βόας ἔδωκεν τοῖς υἱοῖς Γεδσων κατὰ
8 τὰς λειτουργίας αὐτῶν [8]καὶ τὰς τέσσαρας ἁμάξας καὶ τοὺς ὀκτὼ
βόας ἔδωκεν τοῖς υἱοῖς Μεραρι κατὰ τὰς λειτουργίας αὐτῶν διὰ

18 υπο] επι A || 19 ενα αζυμον] tr. A | ευχην B†] κεφαλην A || 21 της ult. > A | ην] ης A | νομον] pr. τον A || 23 = 𝔐 23 + 27 || 24 σε ult. > B† || 25 init.] pr. και B*†

7 1 η ημερα] τη ημ. η A || 2 παραστηκοντες A† || 3 το δωρον B† | προσηγαγον] -ηνεγκαν A